(F. Gr. Hist. I. 31 F 1) *καὶ Πλάτων ἐν* ⟨*τῷ*⟩ *τρίτῳ τῶν Νόμων* (677 D–E)]. *Ἐπιμενίδην φησὶ μικρόν τι ἐδεσμάτιον προσφερόμενον ὧδε ὅλην διατελεῖν τὴν ἡμέραν ἄσιτον καὶ ἄποτον. ἦν δ' ἐξ ἀσφοδέλου καὶ μαλάχης, ὅπερ αὐτὸν ἄλιμον καὶ ἄδιψον ἐποίει.*

27.

Ibid. in OD 48:

*ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.*

*Εἰ δὲ ἀγκυλομήτης ὁ Προμηθεύς (οὕτω γὰρ γράφειν δεῖ καθὰ καὶ Πλούταρχος)* . . .

*28.

Ibid. in OD 126:

*πλουτοδόται, καὶ τοῦτο γέρας βασιλήιον ἔσχον.*

*Καὶ πλουτοδότας εἶναι δεῖ τοὺς βασιλικοὺς ἄνδρας καὶ καθαρεύειν πάσης τῆς κακουργίας καὶ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὧν εἰσιν ἄλλοις χορηγοὶ κατὰ βούλησιν τῶν θεῶν.*

*29.

Ibid. in OD 127–128:

*δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν*
*ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.*

*Ὅτι δὲ ἄργυρος ἰοῦ δεκτικός, ὡς καὶ διίησιν ἔξω τεγγόμενος ὑπὸ τῶν ὑγρῶν τὴν θερμότητα καὶ ψυχρότητα παντὸς μᾶλλον κεράμου καὶ χαλκοῦ, δῆλον. ψύχεται γὰρ τὸ*